# Μνήμη βαρβαρικής επιδρομής

Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/757/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: N/A
Δημιουργία εγγράφου: 21/11/2024 18:31:11

# Σύνοψη

Τύπος εορτής: Εορτάζει στις 7 Αυγούστου εκάστου έτους.

Ημ/νια Βίου: N/A

# Βιογραφία

Η επιδρομή αυτή των Περσών δεν αναφέρεται από τον Άγιο Νικόδημο, την αναφέρουν όμως αρκετοί Κώδικες. Εδώ παραθέτουμε ακριβώς τα γραφόμενα στον Λαυρωτικό Κώδικα Ι 73.

Τη αύτη ήμερα (ζ' Αυγούστου) μνήμην έπιτελούμεν της υπέρ λόγον και παρά πάσαν ελπίδα δωρήθείσης ημίν τελείας βοηθείας παρά Χριστού του αληθινού Θεού ημών κατά των πανταχόθεν δια τε γης και θαλάσσης κυκλωσάντων ημάς άθεων εχθρών, μεσιτευσάσης την σωτηρίαν της θεοφύλακτου ταύτης και βασιλίδος πόλεως της ασπόρως Αυτόν τεκούσης παναγίας αχράντου Δεσποίνης ημών Θεοτόκου και αειπαρθένου Μαρίας. Τούτο δε γέγονε κατά τους χρόνους Ηρακλείου του Βασιλέως, ότε Χοσρόης ο των Περσών βασιλεύς Σάρβαρον τον αυτού στρατηλάτην μετά δυνάμεως βαρείας κατά της θεοφύλακτου ταύτης πόλεως εξέπεμψεν ος πάσαν την Ανατολήν ληϊσάμενος τον εν Χαλκήδόνι πορθμόν κατέλαβε, προσδοκών και την εν πόλεσι μεγίσιην ελεΐν. Ταύτα ιδών Ηράκλειος δια του Ευξείνου Πόντου τη Περσίδι κατέλαβε, πλείονα εν αύτη εργασάμενος η ων ο Πέρσαι των Ρωμαίων γήν διερχόμενοι, τους υιούς αυτού ενταύθα καταλιπών μετά του Σεργίου Πατριάρχου και Βώνου του θαυμάσιου. Χαγάνος δε ο των Αβάρων ηγούμενος και αυτός μεν των ομόρων εθνών παραλαβών πλήθος δια γης και θαλάσσης και αυτός την Κωνσταντινούπολιν προσέβαλεν ώστε εξ ανατολών δε τους Σκύθας, και αυτήν πάντοθεν περιληφθείσα ν είτα τα εαυτών ποιούντες ελεΐν ήλπιζαν πόλιν τω σταυρώ και τοις πάθεσι Χριστού σεμνυνομένην και τη Θεοτόκω υπ' αυτού δώρον δεδομένην. Πάσα ούν ελέπολιν και τειχομαχίαν την μεν δρώντες, την δε μελετώντες βαρβαρικώτεροι γενναίως ήσαν ανθιστάμενοι. Βώνος δε τούτους ην ο προς μάχην διεγείρων και πολύς φόνος εξ εκατέρου μέρους εγένετο. Ούτως ούν τρις και τετράκις συμβαλόντες και τη της Θεοτόκου συμμαχία, άπρακτοι διαμείναντες εις θυμόν διεγείρονται μέγιστον. Όθεν τούτο οι την πόλιν οικούντες διαγνόντες, πρεσβείας προς Χαγάνον στέλλουσι μετά χρημάτων συχνών ειρηνικά γενέσθαι σπονδάς έξαιτούμενοι· ο δε φιλάργυρος την γνώμην και τον τρόπον ων, τα μεν χρήματα έλαβε, τους δε πρέσβεις άπρακτους απέστειλε, "αύριον, φήσας, την πόλιν υμών ως νοσσιάν τη χειρί μου καταλήψομαι και πάντας μονοχίτωνας εξελθείν εάσως πλεΐον γαρ τούτου ου φιλανθρωπεύσομαι προς υμάς", πολλά πρότερον κατά Χριστού του Θεού ημών και της Αυτόν τεκούσης βλασφημήσας. Ταύτα οι την πόλιν οικούντες άκούσαντες και όσον Ιερατικόν, όσον τε λαϊκόν και συγκλητικόν εις τους θείους ναούς ελιτάνευον, τας χείρας εις ουρανούς αίροντες και "Κύριε εξ αγίου κατοικητηρίου", λέγοντες, "έπιδε επί τω μιαρώ Χαγάνω και επί πάσι τοις υπ' αυτού τολμωμένοις και κατάβαλε αυτό, ο υπερασπιστής ημών, Όπως μη είπη, που εστίν ο Θεός αυτών", και οι μεν ηΰχοντο κλαίοντες, οι δε δια τε γης και θαλάσσης εν μια έγνων συρρηγνύειν τον πόλεμον ο δε υπ' αυτών βλασφημούμενος Κύριος, τη πρεσβεία της Αυτόν τεκούσης, ανέμους σφοδρούς και στροβίλους τη θαλασσή εκπέμψας και πάσαν διαταράξας, αύτανδρα τα σκυθικά πλοία τη θαλασσή παρέπεμψεν ενθείς δε και τοις εν πόλει θάρσος, όσον τούτοις δέος κατά των βλάσφημων εξέπεμψεν εις τους βαρβάρους δε τοσούτον φόνον ειργάσαντο, όσον ουδέ αριθμήσαί τις δύναται. Ταύτα ουδέ τους Πέρσας έλαβεν ούτω πραχθέντα, οι χείρα - ως λόγος - επί στόματος θέντες υπέστρεψαν άπρακτοι· ο δε Ιεράρχης και άπαν της εκκλησίας το πλήρωμα συν δάκρυσιν επινίκια ήδον και χαριστήρια. "Η δεξιά σου, Κύριε, δεδόξασται εν ισχύι η δεξιά σου χειρ, Κύριε, έθραυσεν εχθρούς και τω πλήθει της δόξης σου συνέτριψας τους υπεναντίους· πάντα τα έθνη εκύκλωσαν ημάς και τω ονόματι σου, Κύριε, ημυνάμεθα ταύτα". Ούτως η παναγία και υπεράμωμος Θεοτόκος, η των Χριστιανών αντίληψις, περί ημάς την ισχύν αυτής απεδείξατο και την μεγάλην και παράδοξον σωτηρίαν ταύτην ημίν εδωρήσατο. Δια ταύτα την παρούσαν ανάμνησιν ετησίως πανηγυρίζομεν εν τω σεβασμίω αυτής οίκω, τω όντι εν Βλαχέρναις.

## Σχετικές συνδέσεις

1. Σύναξη της Παναγίας των Βλαχερνών στην Κωνσταντινούπολη